The purpose of this apparatus is to show all variation within **Family 35**, for 1 Peter, as identified by a complete collation of the following forty-three representative MSS—18, 35, 141, 149, 201, 204, 328, 386, 394, 432, 604, 757, 824, 928, 986, 1072, 1075, 1100, 1248, 1249, 1503, 1548, 1637, 1725, 1732, 1754, 1761, 1768, 1855, 1858, 1864, 1865, 1876, 1892, 1897, 2221, 2352, 2431, 2466, 2554, 2587, 2626 and 2723. The first reading is that of the family and represents the vote of all the collated MSS (listed above) that are not identified as having a variant. It goes without saying that the base text is that of the family archetype, empirically determined. 1865, 2554 and 2723 have no variants.

# ΠΕΤΡΟΥ Α[1]

*[To elect pilgrims]*

**1**.1 Πετρος, αποστολος[2] Ιησου Χριστου, εκλεκτοις παρεπιδημοις διασπορας Ποντου, Γαλατιας,
Καππαδοκιας, Ασιας και Βιθυνιας, 2 κατα προγνωσιν Θεου Πατρος, εν ἁγιασμω Πνευματος, εις
ὑπακοην και ῥαντισμον αἱματος Ιησου Χριστου: Χαρις ὑμιν και ειρηνη πληθυνθειη.

## [Don’t take your inheritance for granted]

*[Begotten into an incorruptible inheritance]*

**1**.3 Ευλογητος ὁ Θεος και Πατηρ του Κυριου ἡμων Ιησου Χριστου, ὁ κατα[3] το πολυ ελεος αυτου
αναγεννησας ἡμας[4] εις ελπιδα ζωσαν δι’ αναστασεως Ιησου Χριστου εκ νεκρων, 4 εις κληρονομιαν
αφθαρτον και αμιαντον και αμαραντον, τετηρημενην εν ουρανοις εις ὑμας, 5 τους εν δυναμει Θεου
φρουρουμενους δια πιστεως εις σωτηριαν ἑτοιμην αποκαλυφθηναι εν καιρω εσχατω.

*[Genuineness of faith proved by testing]*

6 Εν ᾧ αγαλλιασθε, ολιγον αρτι, ει δεον εστιν, λυπηθεντες[5] εν ποικιλοις[6] πειρασμοις,
7 ἱνα το δοκιμιον ὑμων της πιστεως (πολυ τιμιωτερον χρυσιου του απολλυμενου, δια πυρος δε
δοκιμαζομενου) εὑρεθη εις επαινον και δοξαν και τιμην εν αποκαλυψει Ιησου Χριστου 8—ὃν ουκ
ειδοτες αγαπατε, εις ὃν (αρτι μη ὁρωντες) πιστευοντες δε αγαλλιασθε χαρα ανεκλαλητω και
δεδοξασμενη, 9 κομιζομενοι το τελος της πιστεως ὑμων, σωτηριαν ψυχων.

*[Salvation foretold by prophets]*

10 Περι ἧς σωτηριας[7] εξεζητησαν και εξηρευνησαν προφηται οἱ περι της εις ὑμας[8] χαριτος
προφητευσαντες, 11 ερευνωντες εις τινα, ἡ ποιον καιρον, εδηλου το εν αυτοις Πνευμα Χριστου
προμαρτυρομενον τα εις Χριστον παθηματα και τας μετα ταυτα δοξας· 12 οἱς απεκαλυφθη[9] ὁτι ουχ
ἑαυτοις, ὑμιν[10] δε, διηκονουν αυτα, ἁ νυν ανηγγελη[11] ὑμιν δια των ευαγγελισαμενων ὑμας, εν
Πνευματι Ἁγιω αποσταλεντι απ’[12] ουρανου—εις ἁ επιθυμουσιν αγγελοι παρακυψαι.

*[Be serious, be holy, be fearful]*

13 Διο αναζωσαμενοι τας οσφυας της διανοιας ὑμων, νηφοντες, τελειως ελπισατε επι την
φερομενην ὑμιν χαριν εν αποκαλυψει Ιησου Χριστου 14—ὡς τεκνα ὑπακοης, μη
συσχηματιζομενοι[13] ταις προτερον εν τη αγνοια[14] ὑμων επιθυμιαις, 15 αλλα κατα τον καλεσαντα
ὑμας ἁγιον, και αυτοι ἁγιοι εν παση αναστροφη γενηθητε,[15] 16 διοτι[16] γεγραπται, “‘Ἁγιοι
γινεσθε,[17] ὁτι εγω ἁγιος ειμι”.

17 Και, ει[18] Πατερα επικαλεισθε τον απροσωποληπτως[19] κρινοντα κατα το[20] ἑκαστου εργον,
εν φοβω τον της παροικιας ὑμων χρονον αναστραφητε, 18 ειδοτες ὁτι ου φθαρτοις (αργυριω ἡ

---

[1] Both the Text and the apparatus are the responsibility of Wilbur N. Pickering, ThM PhD, ©.
[2] αποστολος || απολος 1637
[3] κατα || κατατα 1249
[4] ημας || υμας 1075
[5] λυπηθεντες || λυπηθεντας [23.5%] 328,394,1725,1761,1897
[6] ποικιλοις || πικιλοις 824
[7] 1754 omits ψυχων περι ης σωτηριας [homoioteleuton]
[8] υμας || ημας 1075
[9] απεκαλυφθη || ουκ απελυφθη 2466
[10] υμιν || ημιν [14%] 432,604,1705,1768
[11] ανηγγελη || αναγγελλη 2431
[12] απ || απο 1100
[13] συσχηματιζομενοι || σχιματιζομενοι 2466
[14] αγνοια || ἁγνοια 1248
[15] γενηθητε || γεννηθητε 1754
[16] διοτι || διο 1732
[17] γινεσθε || γινεσθαι 1754
[18] ει || οἱ 1876
[19] απροσωποληπτως || απροσωπολειπτως 2352
[20] το || τον 149 || του 432,1768

χρυσιω) ελυτρωθητε εκ της ματαιας ὑμων αναστροφης πατροπαραδοτου, 19 αλλα τιμιω αἱματι, ὡς
αμνου αμωμου και[1] ασπιλου, Χριστου· 20 προεγνωσμενου μεν[2] προ καταβολης κοσμου,
φανερωθεντος δε επ’ εσχατων των χρονων δι’ ὑμας, 21 τους δι’ αυτου πιστευοντας εις Θεον, τον
εγειραντα αυτον εκ νεκρων και δοξαν αυτω δοντα, ὡστε την πιστιν ὑμων και ελπιδα ειναι εις
Θεον.

*[Born again through an eternal Word]*

22 Τας ψυχας ὑμων ἡγνικοτες εν τη ὑπακοη της αληθειας δια Πνευματος, εις φιλαδελφιαν
ανυποκριτον, εκ καθαρας καρδιας αλληλους αγαπησατε εκτενως, 23 αναγεγεννημενοι[3] ουκ εκ
σπορας φθαρτης αλλ’[4] αφθαρτου, δια λογου ζωντος Θεου και μενοντος εις τον αιωνα. 24 Διοτι:
“Πασα σαρξ ὡς χορτος, και πασα δοξα ανθρωπου ὡς ανθος χορτου. Εξηρανθη ὁ[5] χορτος, και το
ανθος αυτου εξεπεσεν, το δε ῥημα Κυριου μενει εις τον αιωνα.” 25 Τουτο δε εστιν το ῥημα το
ευαγγελισθεν εις ὑμας.

*[To grow you must eat]*

**2**.1 Αποθεμενοι ουν πασαν κακιαν—και παντα δολον και ὑποκρισεις και φθονους, και
πασας καταλαλιας—2 ὡς αρτιγεννητα[6] βρεφη το λογικον αδολον γαλα επιποθησατε, ἱνα εν αυτω
αυξηθητε[7] εις σωτηριαν, 3 ειπερ εγευσασθε ὁτι χρηστος[8] ὁ Κυριος. 4 Προς ὃν προσερχομενοι,
λιθον ζωντα—ὑπο ανθρωπων μεν αποδεδοκιμασμενον παρα δε Θεω εκλεκτον,[9] εντιμον—5 και
αυτοι, ὡς λιθοι ζωντες, οικοδομεισθε[10] οικος πνευματικος, ἱερατευμα ἁγιον, ανενεγκαι
πνευματικας θυσιας ευπροσδεκτους τω Θεω δια Ιησου Χριστου.

*[The Chief Cornerstone]*

6 Διοτι περιεχει ἡ Γραφη: “Ιδου,[11] τιθημι εν Σιων λιθον ακρογωνιαιον,[12] εκλεκτον,
εντιμον, και ὁ πιστευων επ’ αυτω ου μη καταισχυνθη.” 7 Ὑμιν ουν ἡ τιμη τοις πιστευουσιν,
απειθουσιν δε, “λιθον ὃν απεδοκιμασαν οἱ οικοδομουντες, οὑτος εγενηθη εις κεφαλην γωνιας”,
8 και “λιθος προσκομματος[13] και πετρα σκανδαλου”· οἳ προσκοπτουσιν τω λογω απειθουντες, εις
ὃ, και, ετεθησαν.

*[A royal priesthood]*

9 Ὑμεις δε γενος εκλεκτον, βασιλειον ἱερατευμα, εθνος ἁγιον, λαος εις περιποιησιν, ὁπως
τας αρετας εξαγγειλητε[14] του εκ σκοτους ὑμας καλεσαντος εις το θαυμαστον αυτου φως· 10 οἵ ποτε
ου λαος νυν δε λαος Θεου, οἱ ουκ ηλεημενοι νυν δε ελεηθεντες.[15]

## [Your practice should be consistent with your standing]

**2**.11 Αγαπητοι, παρακαλω (ὡς παροικους και παρεπιδημους) απεχεσθαι[16] των σαρκικων επιθυμιων,
αἱτινες στρατευονται κατα της ψυχης, 12 την αναστροφην ὑμων εχοντες[17] καλην εν τοις εθνεσιν,
ἱνα, εν ᾧ καταλαλουσιν[18] ὑμων ὡς κακοποιων, εκ των καλων εργων εποπτευσαντες δοξασωσιν τον
Θεον εν ἡμερα επισκοπης.

*[Respect civil authority]*

13 Ὑποταγητε ουν παση ανθρωπινη κτισει δια τον Κυριον, ειτε βασιλει ὡς ὑπερεχοντι, 14
ειτε ἡγεμοσιν ὡς δι’ αυτου πεμπομενοις, εις εκδικησιν μεν κακοποιων επαινον δε αγαθοποιων. 15
Ὁτι οὑτως εστιν το θελημα του Θεου, αγαθοποιουντας φιμουν την των αφρονων ανθρωπων
αγνωσιαν· 16 ὡς ελευθεροι (και μη ὡς[19] επικαλυμμα εχοντες της κακιας την ελευθεριαν), αλλ’ ὡς

---

1 αμωμου και || ~ 21 328
2 μεν || --- 1876
3 αναγεγεννημενοι || αναγεγενημενοι 149,432,2466
4 αλλ || αλλα [60%] 149,201,432,604,757,824,1072,1075,1248,1503,1548,1637,1754,1768,1864,1892,2352,2431 (986 vacant)
5 ο || ως [2%] 18,386,1100
6 αρτιγεννητα || αρτιγενητα 149,201
7 αυξηθητε || αξιωθητε 328
8 χρηστος || χριστος [52%] 2466
9 εκλεκτον 1248[c] || εκλεκτων 1248
10 οικοδομεισθε 2352[c] || εποικοδομεισθε [25%] 432,604,1768,2352 (986 vacant)
11 ιδου || οιδου 432
12 ακρογωνιαιον 1248[c] || ακρογωνιαιων 1248 || ακρογονιαιον 2431
13 προσκομματος || προσκοματος [1%] 149,201
14 εξαγγειλητε 757[c],1503[c],1637[c],1864[alt] || εξαγγελητε 432,1768 || εξαγγειλλητε 1892 || εξαγγελλητε 604,757,1075,1503,1548,1637, 1754,1864,2352 (986 vacant)
15 ελεηθεντες || ελεηθεντος 1248 || 1761 omits verse 10 entire
16 απεχεσθαι 1072[alt] || απεχεσθε [35%] 149,201,204,604[c],757[c],824,1072,1248,1503[c],1548,1637[c],1864[alt],2352,2431 (986 vacant)
17 εχοντες || εχοντας 394,928,1249,2587 || ~ εχοντες υμων 141 (986 vacant)
18 καταλαλουσιν || καταλαλωσιν [48%] 1892
19 ως || --- 432

δουλοι Θεου. 17 Παντας τιμησατε· την αδελφοτητα αγαπησατε· τον Θεον φοβεισθε· τον βασιλεα
τιματε.

*[A word to servants]*

18 Οἱ οικεται, ὑποτασσομενοι εν παντι φοβω τοις δεσποταις, ου μονον τοις αγαθοις και
επιεικεσιν αλλα και τοις σκολιοις. 19 Τουτο γαρ χαρις, ει δια συνειδησιν Θεου ὑποφερει τις
λυπας, πασχων αδικως. 20 Ποιον γαρ κλεος ει ἁμαρτανοντες και κολαφιζομενοι ὑπομενειτε? Αλλ'
ει αγαθοποιουντες και πασχοντες ὑπομενειτε, τουτο χαρις παρα τω Θεω.

[Christ gave the example]

21 Εις τουτο γαρ και εκληθητε, ὁτι και Χριστος επαθεν ὑπερ ἡμων, ὑμιν ὑπολιμπανων
ὑπογραμμον ἱνα επακολουθησητε τοις ιχνεσιν αυτου: 22 ὃς ἁμαρτιαν ουκ εποιησεν, ουδε εὑρεθη
δολος εν τω στοματι αυτου· 23 ὃς λοιδορουμενος ουκ αντελοιδορει,[1] πασχων ουκ ηπειλει[2]
παρεδιδου δε τω κρινοντι δικαιως· 24 ὃς τας ἁμαρτιας ἡμων αυτος ανηνεγκεν εν τω σωματι αυτου
επι το ξυλον, ἱνα ταις ἁμαρτιαις απογενομενοι[3] τη δικαιοσυνη ζησωμεν· οὗ τω μωλωπι αυτου
ιαθητε. 25 Ητε γαρ ὡς προβατα πλανωμενα, αλλ' επεστραφητε[4] νυν επι τον Ποιμενα και
Επισκοπον των ψυχων ἡμων.[5]

*[A word to wives]*

**3**.1 Ὁμοιως, αἱ γυναικες, ὑποτασσομεναι τοις ιδιοις ανδρασιν, ἱνα και ει τινες[6]
απειθουσιν τω λογω, δια της των γυναικων αναστροφης, ανευ λογου, κερδηθησονται[7]
2 (εποπτευσαντες την εν φοβω ἁγνην αναστροφην ὑμων),[8] 3 ὧν εστω ουχ ὁ εξωθεν[9] εμπλοκης[10]
τριχων και περιθεσεως χρυσιων,[11] ἡ ενδυσεως ἱματιων κοσμος, 4 αλλ' ὁ κρυπτος της καρδιας
ανθρωπος, εν τω αφθαρτω του πραεος[12] και ἡσυχιου[13] πνευματος, ὅ εστιν ενωπιον του Θεου
πολυτελες. 5 Οὑτως γαρ ποτε και αἱ[14] ἁγιαι γυναικες αἱ ελπιζουσαι επι τον Θεον εκοσμουν
ἑαυτας, ὑποτασσομεναι τοις ιδιοις ανδρασιν, 6 ὡς Σαρρα ὑπηκουσεν τω Ἁβρααμ,[15] κυριον αυτον
καλουσα, ἧς εγενηθητε[16] τεκνα αγαθοποιουσαι και μη φοβουμεναι μηδεμιαν πτοησιν.[17]

*[A word to husbands]*

7 Οἱ Ανδρες, ὁμοιως, συνοικουντες κατα γνωσιν ὡς ασθενεστερω σκευει τω γυναικειω,[18]
απονεμοντες τιμην ὡς και συγκληρονομοι χαριτος ζωης, εις το μη εγκοπτεσθαι τας προσευχας
ὑμων.

*[The golden rule]*

8 Το δε τελος, παντες ὁμοφρονες, συμπαθεις, φιλαδελφοι, ευσπλαγχνοι, φιλοφρονες, 9 μη
αποδιδοντες κακον αντι κακου ἡ λοιδοριαν αντι λοιδοριας, τουναντιον δε ευλογουντες, ειδοτες
ὁτι εις τουτο εκληθητε ἱνα ευλογιαν[19] κληρονομησητε.[20] 10 "Ὁ γαρ θελων ζωην αγαπαν και
ἡμερας ιδειν αγαθας παυσατω την γλωσσαν αυτου απο κακου και χειλη αυτου[21] του μη λαλησαι
δολον· 11 εκκλινατω απο κακου και ποιησατω αγαθον· ζητησατω ειρηνην, και διωξατω αυτην.
12 Ὁτι οφθαλμοι Κυριου επι δικαιους, και ωτα αυτου εις δεησιν αυτων· προσωπον δε Κυριου επι
ποιουντας κακα."

---

[1] αντελοιδορει || αντελοιδοροι 2431
[2] ηπειλει || ηπηλει 986
[3] απογενομενοι || απογεννομενοι 328 || απογενωμενοι 604 || απογεννωμενοι 394,432,928,986,1249,1548,1768,1855,2587
[4] επεστραφητε || επιστραφητε [20%] 18
[5] ημων || υμων [50%] 1248,2352
[6] ει τινες || οιτινες [7%] 141,328,394,986,2431
[7] κερδηθησονται || κερδηθησωνται [1%] 328,432,604,1768
[8] υμων || ημων 1732
[9] εξωθεν || ενδοθεν 986
[10] εμπλοκης || εκπλοκης 141
[11] χρυσιων || χρυσιου 1892
[12] πραεος || πραεως [25%] 1249
[13] ησυχιου || ισυχιου 757
[14] αι || --- 432,1768
[15] ἁβρααμ || αβρααμ [50%] 149
[16] εγενηθητε || εγεννηθητε [35%] 604,1637,1732,1876,2431,2587,2626 || εγενηθητα 2466 (apparently) || εγενηθετε 986
[17] πτοησιν || ποιησιν 1072
[18] γυναικειω || γυναικιω 1548,1754,1768,1876
[19] ευλογιαν || ευλογιας 394
[20] κληρονομησητε || κληρονομισητε 1768
[21] απο κακου και χειλη αυτου || --- 1876 (a clear case of homoioteleuton)

*[Better to suffer than to sin]*

13 Και τις ὁ κακωσων ὑμας εαν του αγαθου μιμηται γενησθε? 14 Αλλ’ ει και πασχοιτε δια δικαιοσυνην, μακαριοι. “Τον δε φοβον αυτων[1] μη φοβηθητε, μηδε ταραχθητε.” 15 Κυριον δε τον Θεον ἁγιασατε εν ταις καρδιαις ὑμων, ἑτοιμοι δε[2] αει προς απολογιαν παντι τω αιτουντι ὑμας λογον περι της εν ὑμιν ελπιδος,[3] μετα πραυτητος και φοβου· 16 συνειδησιν εχοντες[4] αγαθην, ἱνα εν ᾧ καταλαλουσιν ὑμων ὡς κακοποιων, καταισχυνθωσιν[5] οἱ επηρεαζοντες ὑμων τη αγαθη εν Χριστω αναστροφη.[6] 17 Κρειττον γαρ[7] αγαθοποιουντας, ει θελοι[8] το θελημα του Θεου, πασχειν ἡ κακοποιουντας.[9]

*[Follow Christ’s example to victory]*

18 Ὁτι και Χριστος ἁπαξ περι ἁμαρτιων επαθεν,[10] δικαιος ὑπερ αδικων, ἱνα ἡμας[11] προσαγαγη τω Θεω· θανατωθεις μεν σαρκι ζωοποιηθεις δε πνευματι· 19 εν ᾧ και τοις εν φυλακη[12] πνευμασιν πορευθεις εκηρυξεν, 20 απειθησασιν ποτε, ὁτε απεξεδεχετο[13] ἡ του Θεου[14] μακροθυμια εν ἡμεραις Νωε, κατασκευαζομενης κιβωτου, εις ἣν ολιγαι, τουτ’ εστιν οκτω, ψυχαι διεσωθησαν[15] δι’ ὑδατος· 21 ὃ[16] αντιτυπον, νυν και ἡμας σωζει, βαπτισμα (ου σαρκος αποθεσις[17] ῥυπου, αλλα συνειδησεως αγαθης επερωτημα εις Θεον) δι’ αναστασεως Ιησου Χριστου, 22 ὅς εστιν εν δεξια του Θεου, πορευθεις εις ουρανον, ὑποταγεντων αυτω αγγελων και εξουσιων και δυναμεων.

## [Some concluding instructions]

*[Pursue the will of God]*

**4**.1 Χριστου ουν παθοντος ὑπερ ἡμων[18] σαρκι, και ὑμεις την αυτην εννοιαν ὁπλισασθε (ὁτι ὁ παθων σαρκι πεπαυται[19] ἁμαρτιας) 2 εις το μηκετι ανθρωπων επιθυμιαις αλλα θεληματι του[20] Θεου τον επιλοιπον εν σαρκι βιωσαι χρονον. 3 Αρκετος γαρ ὑμιν ὁ παρεληλυθως[21] χρονος[22] το θελημα των εθνων κατεργασασθαι—πεπορευμενους εν ασελγειαις, επιθυμιαις, οινοφλυγιαις,[23] κωμοις,[24] ποτοις, και αθεμιτοις[25] ειδωλολατριαις[26]—4 εν ᾧ ξενιζονται, μη συντρεχοντων ὑμων[27] εις την αυτην της ασωτιας[28] αναχυσιν, βλασφημουντες· 5 οἳ αποδωσουσιν λογον τω ἑτοιμως εχοντι κριναι ζωντας και νεκρους 6 (εις τουτο γαρ και νεκροις ευηγγελισθη, ἱνα κριθωσι μεν κατα ανθρωπους σαρκι, ζωσι δε κατα Θεον πνευματι).

*[Redeem the time]*

7 Παντων δε το τελος ηγγικεν· σωφρονησατε ουν και νηψατε εις τας[29] προσευχας. 8 Προ παντων δε την εις ἑαυτους αγαπην εκτενη εχοντες, ὁτι ἡ αγαπη καλυπτει πληθος ἁμαρτιων· 9 φιλοξενοι εις αλληλους ανευ γογγυσμων· 10 ἑκαστος καθως ελαβεν χαρισμα, εις ἑαυτους αυτο[30]

---

[1] αυτων || αυτον 1892
[2] δε || --- [17%] 1876,2626
[3] ελπιδος || 1 αλλα [19%] 1876,2626
[4] εχοντες || εχονδες 386
[5] καταισχυνθωσιν || καταισχυνθω 1754
[6] εν χριστω αναστροφη || ~ 312 1761
[7] γαρ || --- 1754
[8] θελοι || θελει [3%] 604
[9] ει θελοι το θελημα του θεου πασχειν η κακοποιουντες || --- 1248 (a clear case of homoioteleuton)
[10] επαθεν || απεθανε [3%] 1761
[11] ημας || υμας [36%] 1892
[12] φυλακη || φυλακι 1249,2431
[13] απεξεδεχετο || απαξ εδεχετο [11%] 1892
[14] η του θεου $1548^{c}$ || --- 1548
[15] διεσωθησαν || διασωθησαν $1858^{v}$ (s)
[16] ο || ω [12%] 2221
[17] αποθεσις || αποθεσιν 149,201
[18] ημων || υμων (7.2%) 2626
[19] πεπαυται || 1 απο 1761
[20] του || --- [78%] 149,201,432,604,757,824,1072,1075,1248,1503,1548,1637,1761,1768,1864,1892,2352,2431
[21] παρεληλυθως || παρεληλυθος 328,1249
[22] χρονος || 1 του βιου [74%] 1247
[23] οινοφλυγιαις || --- 1754 [homoioteleuton]
[24] κωμοις || κομοι 1897
[25] αθεμιτοις || αθεμητοις 986
[26] ειδωλολατριαις || ειδωλολατρειαις [30%] 141,986,$1768^{c}$
[27] υμων || ημων 1892 (hard to tell whether corrected or a ‘correction’)
[28] ασωτιας || ασωτειας 141,1075
[29] τας $35^{c}$ || --- [30%] 35
[30] αυτο || αυτω [12%] 1548,2431

διακονουντες ὡς καλοι οικονομοι ποικιλης χαριτος Θεου. 11 Ει τις λαλει, ὡς λογια Θεου. Ει τις
διακονει, ὡς εξ ισχυος ὡς[1] χορηγει ὁ Θεος, ἱνα εν πασιν δοξαζηται[2] Θεος δια Ιησου Χριστου, ᾧ
εστιν ἡ δοξα και το κρατος εις τους αιωνας. Αμην.

*[Suffering in the will of God]*

12 Αγαπητοι,[3] μη ξενιζεσθε τη εν ὑμιν πυρωσει προς πειρασμον[4] ὑμιν γινομενη, ὡς ξενου
ὑμιν[5] συμβαινοντος, 13 αλλα καθο κοινωνειτε[6] τοις του Χριστου παθημασιν, χαιρετε, ἱνα και εν
τη αποκαλυψει[7] της δοξης αυτου χαρητε αγαλλιωμενοι. 14 Ει ονειδιζεσθε[8] εν ονοματι Χριστου,
μακαριοι, ὁτι το της δοξης και το του Θεου Πνευμα εφ' ὑμας αναπεπαυται. Κατα μεν αυτους
βλασφημειται, κατα δε ὑμας δοξαζεται. 15 Μη γαρ τις ὑμων πασχετω ὡς φονευς ἡ κλεπτης ἡ
κακοποιος ἡ ὡς αλλοτριοεπισκοπος·[9] 16 ει δε ὡς Χριστιανος, μη αισχυνεσθω, δοξαζετω δε τον
Θεον εν τω μερει τουτω. 17 'Οτι ὁ καιρος του αρξασθαι το κριμα απο του οικου του Θεου· ει δε
πρωτον αφ' ἡμων,[10] τί το τελος των απειθουντων τω του Θεου[11] ευαγγελιω? 18 Και, 'Ει ὁ δικαιος
μολις σωζεται, ὁ ασεβης και ἁμαρτωλος[12] που φανειται?' 19 'Ωστε και οἱ πασχοντες κατα το
θελημα του Θεου, ὡς πιστω Κτιστη,[13] παρατιθεσθωσαν τας ψυχας αυτων εν αγαθοποιια.

*[How to be a shepherd]*

5.1 Πρεσβυτερους τους εν ὑμιν παρακαλω, ὁ συμπρεσβυτερος και μαρτυς των του Χριστου
παθηματων, ὁ και της μελλουσης αποκαλυπτεσθαι δοξης κοινωνος: 2 ποιμανατε το εν ὑμιν
ποιμνιον του Θεου, επισκοπουντες μη αναγκαστως[14] αλλ' ἑκουσιως· μηδε[15] αισχροκερδως αλλα
προθυμως· 3 μηδε ὡς κατακυριευοντες των κληρων, αλλα τυποι γινομενοι του ποιμνιου. 4 Και
φανερωθεντος του Αρχιποιμενος κομιεισθε τον αμαραντινον[16] της δοξης στεφανον.

*[Humility is a must]*

5 'Ομοιως, νεωτεροι, ὑποταγητε πρεσβυτεροις. Παντες δε αλληλοις ὑποτασσομενοι, την
ταπεινοφροσυνην εγκομβωσασθε, ὁτι "'Ο Θεος ὑπερηφανοις αντιτασσεται,[17] ταπεινοις δε διδωσιν
χαριν". 6 Ταπεινωθητε ουν ὑπο την κραταιαν χειρα του Θεου, ἱνα ὑμας ὑψωση εν καιρω·
7 πασαν την μεριμναν ὑμων επιρριψαντες επ' αυτον, ὁτι αυτω μελει[18] ὑπερ[19] ὑμων.

*[Guard against the devil]*

8 Νηψατε, γρηγορησατε! ὁτι ὁ αντιδικος ὑμων διαβολος, ὡς λεων ωρυομενος,[20]
περιερχεται,[21] ζητων τινα καταπιειν·[22] 9 ᾧ αντιστητε, στερεοι τη πιστει, ειδοτες τα αυτα των
παθηματων τη εν κοσμω ὑμων αδελφοτητι επιτελεισθαι.[23]

[Benediction]

5.10 'Ο δε Θεος πασης χαριτος, ὁ καλεσας ὑμας εις την αιωνιον αυτου δοξαν εν Χριστω Ιησου,
ολιγον παθοντας, αυτος καταρτισαι ὑμας[24]—στηριξαι, σθενωσαι, θεμελιωσαι. 11 Αυτω ἡ δοξα και
το κρατος εις τους αιωνας των αιωνων. Αμην.

---

[1] ως || οις 1548 || ης [28%] 141c,149,201,432,604,757,824,1072,1075,1248,1503,1637,1864,1982,2352,2431

[2] δοξαζηται 1864c || 1 ο [73%] 141,1725c,1761,1864,1876c

[3] αγαπητοι || αγαπητοις 1897

[4] πειρασμον || πυρασμον 2466 (apparently)

[5] υμιν || ημιν 1892,2626

[6] κοινωνειτε || κοινωνειται 2352

[7] αποκαλυψει || αποκαλυψη 2431

[8] ονειδιζεσθε || ονειδιζεσθαι 1754

[9] αλλοτριοεπισκοπος 2466c || αλλοτριος επισκοπος [4%] 2466

[10] ημων || υμων [13%] 432,604,1768

[11] τι το τελος των απειθουντων τω του θεου || --- 1248 (just skipped a line)

[12] ασεβης και αμαρτωλος 1072c || ~ 321 149 || 12 ο 3 1072

[13] κτιστη || κτισθη 149 (apparently)

[14] αναγκαστως || αναγκαστικως [5%] 18

[15] μηδε 1725c || μη 1548,1725,2431

[16] αμαραντινον || ἀμαραντινον 1100,1725 || ἀμαμαντινον 432

[17] αντιτασσεται || αντιτασεται 1754

[18] μελει || μελλει [20%] 141,432,604,824,986,1248,1249,1768,1876,1892,2352,2431,2626

[19] υπερ || περι [65%] 1761

[20] ωρυομενος || ὠρυομενος 604,757

[21] περιερχεται || περιπατει [76%] 2221

[22] καταπιειν 394alt || καταπιη [22%] 328,394,604,928,986,1075,1249,1761,1855,1892c,2431,2587c || καταποιειν 1876

[23] επιτελεισθαι || επιτελεισθε [12%] 986,1855

[24] υμας 35c || --- [12%] 35

*[Sign-off]*

12 Δια Σιλουανου ὑμιν του πιστου αδελφου, ὡς λογιζομαι, δι’ ολιγων εγραψα,[1] παρακαλων
και επιμαρτυρων ταυτην ειναι αληθη χαριν του Θεου εις ἣν ἑστηκατε. 13 Ασπαζεται[2] ὑμας ἡ εν
Βαβυλωνι συνεκλεκτη· και Μαρκος, ὁ υἱος μου. 14 Ασπασασθε αλληλους εν φιληματι αγαπης.

Ειρηνη ὑμιν, πασιν τοις εν[3] Χριστω Ιησου. Αμην.

[1] εγραψα || εγραψας 1248
[2] ασπαζεται || ασπαζετε 328
[3] εν || --- 1897